τῇ ἐρήμῳ. [17]καὶ νῦν ὑψωθήτω ἡ ἰσχύς σου, κύριε, ὃν τρόπον εἶπας 17
λέγων [18]Κύριος μακρόθυμος καὶ πολυέλεος καὶ ἀληθινός, ἀφαιρῶν 18
ἀνομίας καὶ ἀδικίας καὶ ἁμαρτίας, καὶ καθαρισμῷ οὐ καθαριεῖ τὸν
ἔνοχον ἀποδιδοὺς ἁμαρτίας πατέρων ἐπὶ τέκνα ἕως τρίτης καὶ τε-
τάρτης. [19]ἄφες τὴν ἁμαρτίαν τῷ λαῷ τούτῳ κατὰ τὸ μέγα ἔλεός 19
σου, καθάπερ ἵλεως αὐτοῖς ἐγένου ἀπ᾽ Αἰγύπτου ἕως τοῦ νῦν. [20]καὶ 20
εἶπεν κύριος πρὸς Μωυσῆν Ἵλεως αὐτοῖς εἰμι κατὰ τὸ ῥῆμά σου·
[21]ἀλλὰ ζῶ ἐγὼ καὶ ζῶν τὸ ὄνομά μου καὶ ἐμπλήσει ἡ δόξα κυρίου 21
πᾶσαν τὴν γῆν, [22]ὅτι πάντες οἱ ἄνδρες οἱ ὁρῶντες τὴν δόξαν μου 22
καὶ τὰ σημεῖα, ἃ ἐποίησα ἐν Αἰγύπτῳ καὶ ἐν τῇ ἐρήμῳ ταύτῃ, καὶ
ἐπείρασάν με τοῦτο δέκατον καὶ οὐκ εἰσήκουσάν μου τῆς φωνῆς,
[23]ἦ μὴν οὐκ ὄψονται τὴν γῆν, ἣν ὤμοσα τοῖς πατράσιν αὐτῶν, 23
ἀλλ᾽ ἢ τὰ τέκνα αὐτῶν, ἅ ἐστιν μετ᾽ ἐμοῦ ὧδε, ὅσοι οὐκ οἴδασιν
ἀγαθὸν οὐδὲ κακόν, πᾶς νεώτερος ἄπειρος, τούτοις δώσω τὴν γῆν,
πάντες δὲ οἱ παροξύναντές με οὐκ ὄψονται αὐτήν. [24]ὁ δὲ παῖς μου 24
Χαλεβ, ὅτι ἐγενήθη πνεῦμα ἕτερον ἐν αὐτῷ καὶ ἐπηκολούθησέν μοι,
εἰσάξω αὐτὸν εἰς τὴν γῆν, εἰς ἣν εἰσῆλθεν ἐκεῖ, καὶ τὸ σπέρμα
αὐτοῦ κληρονομήσει αὐτήν. [25]ὁ δὲ Αμαληκ καὶ ὁ Χαναναῖος κατοι- 25
κοῦσιν ἐν τῇ κοιλάδι· αὔριον ἐπιστράφητε ὑμεῖς καὶ ἀπάρατε εἰς
τὴν ἔρημον ὁδὸν θάλασσαν ἐρυθράν.

[26]Καὶ εἶπεν κύριος πρὸς Μωυσῆν καὶ Ααρων λέγων [27]Ἕως τίνος 26 27
τὴν συναγωγὴν τὴν πονηρὰν ταύτην; ἃ αὐτοὶ γογγύζουσιν ἐναν-
τίον ἐμοῦ, τὴν γόγγυσιν τῶν υἱῶν Ισραηλ, ἣν ἐγόγγυσαν περὶ
ὑμῶν, ἀκήκοα. [28]εἰπὸν αὐτοῖς Ζῶ ἐγώ, λέγει κύριος, ἦ μὴν ὃν 28
τρόπον λελαλήκατε εἰς τὰ ὦτά μου, οὕτως ποιήσω ὑμῖν· [29]ἐν τῇ 29
ἐρήμῳ ταύτῃ πεσεῖται τὰ κῶλα ὑμῶν καὶ πᾶσα ἡ ἐπισκοπὴ ὑμῶν
καὶ οἱ κατηριθμημένοι ὑμῶν ἀπὸ εἰκοσαετοῦς καὶ ἐπάνω, ὅσοι ἐγόγ-
γυσαν ἐπ᾽ ἐμοί· [30]εἰ ὑμεῖς εἰσελεύσεσθε εἰς τὴν γῆν, ἐφ᾽ ἣν ἐξέ- 30
τεινα τὴν χεῖρά μου κατασκηνῶσαι ὑμᾶς ἐπ᾽ αὐτῆς, ἀλλ᾽ ἢ Χαλεβ
υἱὸς Ιεφοννη καὶ Ἰησοῦς ὁ τοῦ Ναυη. [31]καὶ τὰ παιδία, ἃ εἴπατε 31
ἐν διαρπαγῇ ἔσεσθαι, εἰσάξω αὐτοὺς εἰς τὴν γῆν, καὶ κληρονομή-
σουσιν τὴν γῆν, ἣν ὑμεῖς ἀπέστητε ἀπ᾽ αὐτῆς. [32]καὶ τὰ κῶλα ὑμῶν 32
πεσεῖται ἐν τῇ ἐρήμῳ ταύτῃ, [33]οἱ δὲ υἱοὶ ὑμῶν ἔσονται νεμόμενοι 33
ἐν τῇ ἐρήμῳ τεσσαράκοντα ἔτη καὶ ἀνοίσουσιν τὴν πορνείαν ὑμῶν,
ἕως ἂν ἀναλωθῇ τὰ κῶλα ὑμῶν ἐν τῇ ἐρήμῳ. [34]κατὰ τὸν ἀριθμὸν 34
τῶν ἡμερῶν, ὅσας κατεσκέψασθε τὴν γῆν, τεσσαράκοντα ἡμέρας,

17 ισχυς] χειρ A || 18 fin.] + γενεας A || 19 αυτοις εγενου] tr. A || 22 ταυτη] > B, in *O* sub ÷ | μου / της φ.] tr. A || 23 η μην M] ει μην BA: item in 28. 35, cf. Thack. § 6, 20 | ουδε] η A | παροξυνοντες A || 24 εισαξω] pr. και A || 25 υμεις / και απαρ.] tr. A || 27 α > B* || 28 μην] μη A: item B*† in 35 | εις τα ωτα μου > A† || 31 εν — εσεσθαι] εις διαρπαγην εσονται A || 33 υμων $2^{0}$] αυτων A† | αν > B*A